πότερον μία τούτων ἐπιστήμη καὶ τῆς οὐσίας, ἢ ἑτέρα· κἂν εἰ μὴ μία, ποτέραν προσαγορεύειν τὴν ζητουμένην. μιᾶς μὲν οὖν οὐκ εὔλογον εἶναι. τί γὰρ μᾶλλον γεωμετρίας, ἢ ὁποιασοῦν, περὶ τούτων ἐστὶν ἴδιον τὸ ἐπαΐειν; εἴπερ οὖν ὁμοίως μὲν ὁποιασοῦν ἐστιν, ἁπασῶν δὲ μὴ ἐνδέχεται, ὥσπερ οὐδὲ τῶν ἄλλων, οὕτως οὐδὲ τῆς γνωριζούσης τὰς οὐσίας ἴδιόν ἐστι τὸ γινώσκειν περὶ αὐτῶν. ἅμα δὲ καὶ τίνα τρόπον ἔσται αὐτῶν ἐπιστήμη. τί μὲν γὰρ ἕκαστον τούτων τυγχάνει ὄν, καὶ νῦν γνωρίζομεν. χρῶνται οὖν ὡς γιγνωσκομένοις αὐτοῖς, καὶ ἄλλαι τέχναι. εἰ δὲ ἀποδεικτικὴ περὶ αὐτῶν ἐστι, δεήσει τι γένος εἶναι ὑποκείμενον, καὶ τὰ μὲν πάθη, τὰ δ' ἀξιώματα αὐτῶν. περὶ πάντων γὰρ ἀδύνατον ἀπόδειξιν εἶναι. ἀνάγκη γὰρ ἔκ τινων εἶναι καὶ περί τι, καί τινων τὴν ἀπόδειξιν. ὥστε συμβαίνει πάντων εἶναι γένος ἕν τι τῶν δεικνυμένων. πᾶσαι γὰρ αἱ ἀποδεικτικαὶ χρῶνται τοῖς ἀξιώμασιν. ἀλλὰ μὴν, εἰ ἑτέρα ἡ τῆς οὐσίας καὶ ἡ περὶ τούτων, ποτέρα κυριωτέρα καὶ προτέρα πέφυκεν αὐτῶν; καθόλου γὰρ μάλιστα, καὶ πάντων ἀρχαὶ, τὰ ἀξιώματά ἐστιν· εἴτ' ἐστὶ μὴ τοῦ σοφοῦ, τίνος ἔσται περὶ αὐτῶν ἄλλου τὸ θεωρῆσαι τὸ ἀληθὲς καὶ τὸ ψεῦδος. ὅλως τε τῶν οὐσιῶν πότερον μία πασῶν ἐστιν, ἢ πλείους ἐπιστῆμαι. εἰ μὲν οὖν μὴ μία, ποίας οὐσίας θετέον τὴν ἐπιστήμην ταύτην· τὸ δὲ μίαν πασῶν, οὐκ εὔλογον. καὶ γὰρ ἂν ἀποδεικτικὴ μία περὶ πάντων εἴη τῶν καθ' αὑτὸ συμβεβηκότων· εἴπερ πᾶσα ἀποδεικτικὴ περί τι ὑποκείμενον θεωρεῖται καθ' αὑτὰ συμβεβηκότα ἐκ τῶν κοινῶν δοξῶν. περὶ οὖν τὸ αὐτὸ γένος, τὰ συμβεβηκότα καθ' αὑτὰ, τῆς αὐτῆς ἐστι θεωρῆσαι ἐκ τῶν αὐτῶν δοξῶν. περί τε γὰρ τὸ ὅτι, μιᾶς· καὶ ἐξ ὧν, μιᾶς, εἴτε τῆς αὐτῆς, εἴτε ἄλλης. ὥστε καὶ τὰ συμβεβηκότα, εἴθ' αὗται θεωρήσουσιν, εἴτ' ἐκ τούτων μία. ἔτι δὲ πότερον περὶ τὰς οὐσίας ἡ θεωρία μόνον ἐστὶν, ἢ καὶ περὶ τὰ συμβεβηκότα ταύταις. λέγω δ' οἷον, εἰ τὸ στερεὸν οὐσία τίς ἐστι, καὶ γραμμαὶ καὶ ἐπίπεδα, πότερον τῆς αὐτῆς ταῦτα γνωρίζειν ἐπιστήμης, καὶ τὰ συμβεβηκότα περὶ ἕκαστον γένος, περὶ ὧν αἱ μαθηματικαὶ δεικνύουσιν, ἢ ἄλλης. εἰ μὲν γὰρ τῆς αὐτῆς, ἀποδεικτική τις ἂν εἴη καὶ ἡ τῆς οὐσίας· οὐ δοκεῖ δὲ τοῦ τί ἐστιν ἀπόδειξις εἶναι· εἰ δ' ἑτέρας, τίς ἔσται ἡ θεωροῦσα περὶ τὴν οὐσίαν τὰ συμβεβηκό-

A ſunt, vtrum vna iſtarum ac ſubſtantiæ ſcientia eſt, an diuerſa? quòd ſi non vna, vtra dicenda eſt illa eſſe, quæ nunc quæritur? Vnius itaque non eſt rationabile eſſe: cur enim geometriæ magis, quàm cuiuſcunque proprium ſit de his ſpeculari? Si itaque æqualiter cuiuſcunque eſt, de omnibus verò non contingit, ſicuti nec cæterarum, ita nec illius, quæ cognoſcit ſubſtantias, proprium eſt, de eis cognoſcere. Et adhæc, quomodo eorum
B ſcientia erit? Quid enim horum quodque eſt, nunc quoque cognoſcimus. Vtuntur namque eis cæteræ etiam artes, tanquam cognitis. Quòd ſi demonſtratiua de eis eſt, oportebit aliquod genus ſubiectum eſſe, & aliquas paſſiones, & aliquas eorum dignitates eſſe. De omnibus enim demonſtrationem eſſe, impoſſibile eſt. Siquidem neceſſe eſt ex quibuſdam, & circa quippiam, & quorundam demonſtra-
C tionem eſſe. Quare accidit cunctorum, quæ demonſtrantur, vnum quoddam genus eſſe. Omnes enim demonſtratiuæ vtuntur dignitatibus. At verò ſi altera, quæ de ſubſtantia, & illa, quæ de his, vtra earum principalior & prior eſt? Vniuerſaliter enim & maximè principia omnium dignitates ſunt. Et ſi non eſt philoſophi, cuius alterius erit de eis verum & falſum ſpeculari? Et omnino vtrum vna omnium ſubſtantiarum, an plures ſcientiæ ſunt? ſi
D igitur non vna, cuius ſubſtantiæ hæc ſcientia erit ponenda? Vnam autem omnium eſſe non eſt rationabile. Etenim demonſtratiua vna, de omnibus accidentibus eſſet, ſiquidem omnis demonſtratiua, ea, quæ per ſe circa aliquod ſubiectum accidunt, ſpeculatur ex communibus opinionibus. Circa itaque idem genus, per ſe accidentia eiuſdem eſt ſpeculari
E ex eiſdem opinionibus. Circa enim quod eſt vnius: & ex quibus vnius, ſiue eiuſdem, ſiue alterius vnde & accidentia aut hæ ſpeculabuntur, aut ex his vna. Item, vtrum circa ſubſtantias ſolum ſpeculatio eſt, an etiam circa accidentia eis? Dico autem, vtputa ſi ſolidum quædam ſubſtantia eſt, ac lineæ, & plana, vtrum eiuſdem ſcientiæ eſt, iſta cognoſcere, & quæ circa vnumquodque genus accidunt, de quibus mathematicæ
F demonſtrant, an alterius. Si enim eiuſdem, demonſtratiua quædam erit etiam quæ ſubſtantiæ: non videtur autem ipſius quid eſt, demonſtratio eſſe. Quòd ſi alterius, quæ erit, quæ ſpeculatur circa ſubſtantiæ accidentia? hoc